
03-12-2026 ΟΡΘΡΟΣ ΠΕΜΠΤΗΣ ΗΧΟΣ Α΄


† Μνήμη τοῦ Ἁγίου Προφήτου Σοφονίου.

Ἦχος ὑ Γα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἀπολυτίκια Πέμπτης εἰς τὸ Θεός Κύριος.

Ἦχος γ΄

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος ὑ̈ Γα




Δόξα...

Ἀπολυτίκιον τοῦ Ἁγίου Νικολάου

Ἦχος δ΄

Κανόνα πίστεως καί εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διά τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ σωθήναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄ Δι


Κα νο να πι στε ως και ει κο να πρα ο
τη τος εγ κρα τει ας Δι δα σκα λον α νε
δει ξε σε τη ποι μνη σου η των πραγ μα
των α λη θει α δι α του το εκ τη σω
τη τα πει νω σει τα υ ψη λα τη πτω χει
α τα πλου σι α Πα τερ Ι ε ραρ χα Νι κο
λα ε πρε σβευ ε Χρι στω τω Θε ω σω
ϑη ναι τας ψυ χας η μω ων


Καὶ νῦν... Θεοτοκίον

Τῇ Πέμπτῃ πρωΐ.

Εἰς τό, Θεὸς Κύριος. Ἦχος δ΄.


Τὸν Λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη διὸ ἀπαύστως σε, ἀνυμνοῦντες μεγαλύνομεν.

Ἦχος δ΄ Δι



Πέμπτη πρωΐ.
Ἦχος α΄. Μετὰ τὴν α΄ Στιχολογίαν
Καθίσματα Ἀποστολικά

Οἱ σοφοὶ τῆς οἰκουμένης ἁλιεῖς, ἐκ Θεοῦ λαβόντες τὸ συμπαθές, πρεσβεύσατε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν βοώντων, Κύριε, σῶσον τὸ λαὸν καὶ τὴν πόλιν σου, καὶ τῶν συνεχόντων δεινῶν ἐλευθέρωσον, διὰ τῶν Ἀποστόλων τὰς ψυχὰς ἡμῶν.





Στιχ. Θεἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. *Τοῦ λίθου σφραγισθέντος*

Τῇ σαγήνῃ τοῦ λόγου τὰς πλοκὰς τῶν ῥητόρων, οἱ ἁλιεῖς τῷ καλάμῳ τοῦ Σταυροῦ ἀνατρέψαντες, ἐφώτισαν τὰ ἔθνη εὐσεβῶς, δοξάζειν σε Θεὸν ἀληθινόν· διό σοι τῷ ἐνδυναμώσαντι αὐτοὺς βοῶμεν· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, δόξα τῷ ὁμοουσίῳ Πνεύματι, δόξα τῷ δι΄ αὐτῶν φωτίσαντι τὸν κόσμον.

Δόξα... **Κ**αὶ νῦν... *Θεοτοκίον*

Συλλαβοῦσα ἀφλέκτως, τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως, πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσῳζε τοὺς σὲ μεγαλύνοντας.




νον τα ας

Μετὰ τὴν β΄ Στιχολογίαν
Ἕτερα Καθίσματα Ἀποστολικὰ
Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ

Τὰς σάλπιγγας Χριστοῦ, τὰς εὐήχους ἐν ὕμνοις, τιμήσωμεν Πιστοί, τοὺς σοφοὺς Ἀποστόλους, τοὺς ἵππους τοὺς ταράξαντας, ἀθεΐας τὴν θάλασσαν, καὶ ἑλκύσαντας, ὡς ἐκ βυθοῦ τοὺς ἀνθρώπους, πρὸς τὸν ἔνθεον, τῆς σωτηρίας λιμένα, τοῦ Πνεύματος χάριτι.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Τὸ φῶς τὸ ἐκ φωτός, προεκλάμψαν ἀχρόνως, ἐν χρόνῳ σαρκικῶς, τοῖς ἐν γῇ ἐπεφάνῃ, καὶ κόσμον κατεφώτισε, δι΄ ἡμῶν Παμμακάριστοι· ὅθεν ἅπαντες, οἱ διδαχαῖς ὑμῶν θείαις, φωτιζόμενοι, τὴν ἱερὰν ὑμῶν μνήμην, τιμῶμεν, Ἀπόστολοι.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Προστάτιν πρὸς Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τῷ ἁγίῳ ναῷ σου, αἰτούμενοι βοήθειαν, παρὰ σοῦ Ἀειπάρθενε·

ῥῦσαι οὖν ἡμᾶς, τῆς τῶν δαιμόνων κακίας, καὶ ἐξάρπασον, ἐκ καταδίκης φρικώδους, τοὺς σὲ μακαρίζοντας.

Μετὰ τὴν γ΄ Στιχολογίαν

Καθίσματα ἕτερα τοῦ ἁγίου Νικολάου

Ἦχος α΄

Τὸν τάφον σου Σωτῆρ

Τοῖς Μύροις παροικῶν, αἰσθητῶς, Ἱεράρχα, τῷ μύρῳ νοητῶς, τῷ τοῦ Πνεύματος ὤφθης, χρισθείς, Πάτερ Νικόλαε, καὶ τοῖς μύροις θαυμάτων σου, κατεμύρισας, μύρον ἀέναον χέων, τοῖς μυρίσαι σου, μεμυρισμένοις ἐν ὕμνοις, τὴν μνήμην ἐθέλουσι.

Μαρτυρικὸν

Τοῦ λίθου σφραγισθέντος

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τοὺς Μάρτυρας Χριστοῦ, ἱκετεύσωμεν πάντες· αὐτοὶ γὰρ τὴν ἡμῶν, σωτηρίαν αἰτοῦνται, καὶ πόθῳ προσέλθωμεν, πρὸς αὐτοὺς μετὰ πίστεως, οὗτοι νέμουσι, τῶν ἰαμάτων τὴν χάριν, οὗτοι φάλαγγας, ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς Πίστεως.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὸν τάφον σου Σωτὴρ

Οἱ θεῖοι μαθηταί, καὶ Ἀπόστολοι, Κόρη, ἐνθέοις διδαχαῖς, ἀνεκήρυξαν πᾶσι, τὴν ἄφραστόν σου γέννησιν, Θεοτόκε πανάχραντε, σὲ διδάξαντες, τοῦ προσκυνεῖσθαι ἀξίως, ἀλλ΄ αἰτοῦμέν σε, σὺν τούτοις αἴτει σωθῆναι, τοὺς πίστει τιμῶντάς σε.

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν τῶν ἁγίων Ἀποστόλων
Ὠδὴ α΄. Ἦχος α΄.
Ὁ Εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γὰρ Ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.(Δὶς)

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Θείαις φωτιζόμενοι αὐγαῖς, τῆς τρισηλίου ἐλλάμψεως ἔνδοξοι, θέσει χρηματίζετε, ὄντως θεοί, θεοειδεῖς Ἀπόστολοι· ὅθεν κατὰ χρέος, ὑμᾶς ἐν πίστει γεραίρομεν.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Λόγου τοῦ φανέντος ἐπὶ γῆς, δι΄ εὐσπλαγχνίαν παχύτητι σώματος, ἄριστοι διάκονοι, καὶ τῶν αὐτοῦ, ἐκπληρωταὶ προστάξεων, πίστει γεγονότες, ἀεὶ τιμᾶσθε Ἀπόστολοι.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ταῖς φωτιστικαῖς μαρμαρυγαῖς, τοῦ παναγίου ἀοίδιμοι Πνεύματος, ὅλον με φωτίσατε, ἁμαρτιῶν ἐν σκότει καλυπτόμενον, καὶ πρὸς μετανοίας, ὁδὸν σοφῶς ὁδηγήσατε.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ τῶν Ἀποστόλων χαρμονή, Θεογεννῆτορ πανάμωμε Δέσποινα, Μήτηρ ὡς ὑπάρχουσα, τοῦ ἐν αὐτοῖς θεοπρεπῶς λαλήσαντος, σὺν αὐτοῖς δυσώπει, πυρὸς γεέννης ῥυσθῆναί με.

Ἕτερος κανὼν τοῦ τοῦ ἁγίου Νικολάου
Ὠδὴ α΄. Ἦχος α΄
Ὠδὴν ἐπινίκιον

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στεφάνοις κοσμούμενος δικαιοσύνης, καὶ θρόνῳ τῆς χάριτος, παρεστὼς Νικόλαε, τοὺς ὑμνῳδίαις σε, νῦν καταστέφοντας πιστῶς, σῷζε πρεσβείαις σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ χάριν δεξάμενος τῶν ἰαμάτων, παμμάκαρ Νικόλαε, τῆς ψυχῆς μου τραύματα, εὐχαῖς σου ἴασαι, καὶ συμβαινόντων πειρασμῶν, ῥῦσαι πρεσβείαις σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰσχύϊ Νικόλαε τῆς σῆς πρεσβείας, ὅλην παρειμένην μου, τὴν ψυχὴν ἀνόρθωσον, τοῖς πλημμελήμασι, καὶ τῶν τοῦ βίου δυσχερῶν, πάντας διάσωσον.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοός μου Πανάμωμε τὰς ἀμαυρώσεις, φωτί σου ἀπέλασον, καὶ τοῦ σκότους ῥῦσαί με, τοῦ αἰωνίζοντος, ὅπως ὑμνῶ διηνεκῶς, τὰ μεγαλεῖά σου.

Κανὼν τῶν ἁγίων Ἀποστόλων

Ὠδὴ γ΄.

Ἦχος πλ. δ΄

Ὁ Εἱρμὸς

Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε· σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.(Δὶς)

Στίχ. **Ἀ**πόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Σθένος περιζώσατε, ἐξασθενήσασαν πάθεσι, καὶ ἡδοναῖς, τὴν ἐμὴν καρδίαν, τοῦ Σωτῆρος Ἀπόστολοι.

Στίχ. **Ἀ**πόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μίαν καταγγέλλοντες, τρισσοφαῆ Θεοῦ ἔλλαμψιν, οἱ Μαθηταί, τῆς πολυθεΐας, τὴν ἀχλὺν ἐξηφάνισαν.

Στίχ. **Ἀ**πόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἕλκη πονηρότατα, τὰ τῆς καρδίας μου παύσατε, ὡς ἰατροί, θείᾳ χειρουργίᾳ, τοῦ Σωτῆρος Ἀπόστολοι.

Θεοτοκίον

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σῶσόν με κυήσασα, ὑπερφυῶς ἁγνὴ Δέσποινα, τὸν Λυτρωτήν, πάντων καὶ Δεσπότην, καὶ Σωτῆρα καὶ Κύριον.

Κανὼν τῶν ἁγίων Ἀποστόλων
Ὠδὴ γ΄ . Ἦχος α΄
Ὁ Εἱρμὸς

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὁ μόνος ἀόρατος Θεός, ὡράθη σωματούμενος, καὶ μαθητὰς ὑμᾶς ἐξελέξατο, εἰς πάντα κόσμον αὐτοῦ τὸ ὄνομα, καὶ τὴν ὑπερκόσμιον, δόξαν καταγγέλλοντας, παμμακάριστοι θεῖοι Ἀπόστολοι.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Σοὶ μόνῳ ἡμάρτηκα Χριστέ, σοὶ μόνῳ ἐπλημμέλησα, καὶ τὴν ψυχὴν κακῶς κατεμόλυνα, τῷ σῷ ἐλέει κάθαρον σῶσόν με, ἔχων δυσωποῦντάς σε, μόνε εὐδιάλλακτε, Ἰησοῦ, τοὺς σοφοὺς Ἀποστόλους σου.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Πικρίας παθῶν καὶ λογισμῶν, καὶ πάσης ἁμαρτίας με, ὡς συμπαθεῖς Ἀπόστολοι ῥύσασθε, τῇ μετανοίᾳ καταγλυκαίνοντες, τὴν ἐμὴν διάνοιαν, ὡς τὸν θεῖον φέροντες, γλυκασμὸν ἐν καρδίᾳ πανεύφημοι.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μετὰ τῶν ἀΰλων Λειτουργῶν, Παρθένε ἀπειρόγαμε, μετα πασῶν τῶν ἄνω Δυνάμεων, μετὰ Μαρτύρων καὶ Ἀποστόλων Χριστοῦ, ὅν περ ἐσωμάτωσας, ἐξ ἁγνῶν αἱμάτων σου, ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Κανὼν τοῦ τοῦ ἁγίου Νικολάου

Ὠδὴ γ΄. Ἦχος α΄

Στερεωθήτω ἡ καρδία μου

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀρχιερέων ἐγκαλλώπισμα, εὐωδία θεία τοῦ Πνεύματος, ταῖς μυριπνόοις σου εὐχαῖς, τὰ δυσώδη ἀπέλασον, τῆς καρδίας μου, Νικόλαε σοφέ, πάθη δέομαι.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν ἀμελείᾳ διεξάγων μου, τὴν ζωὴν ὁ τάλας πτοοῦμαί σου, τὸ δικαστήριον Χριστέ, ἐν ᾧ μὴ κατακρίνῃς με, Νικολάου μεσιτείαις ἱεραῖς δυσωπούμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πεποικιλμένος θείᾳ χάριτι, Ἱεράρχα πάτερ Νικόλαε, ἀπὸ ποικίλων πειρασμῶν, καὶ κινδύνων με διάσωσον, προσφυγόντα σου τῇ σκέπῃ, τῇ σεπτῇ παμμακάριστε.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥῦσαί με πάσης περιστάσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, καὶ αἰωνίζοντος πυρός, καὶ τοῦ σκότους Πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, βροτοῖς τὸ ἀνέσπερον.

Κανών α΄, Ὠδὴ γ΄, τοῦ Προφήτου
Ἦχος πλ. β΄ .
«Οὐκ ἔστιν ἅγιος ὡς σύ,

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὁ πάντα βλέπων ὡς Θεός, τῶν μελλόντων τὴν γνῶσιν, καὶ τῶν γενησομένων, τὴν εἴδησίν σοι σαφῆ, προφαίνει θεοπρεπῶς, καὶ δεικνύει, Μάκαρ ἀξιάγαστε.(Δὶς)

Δόξα...

Νευρώσας Μάκαρ σοῦ τὸν νοῦν, εὐσεβεῖ παρρησίᾳ, τῷ Πνεύματι τῷ θείῳ, ὑπέκλινας σεαυτόν, καὶ γέγονας δεκτικός, τῶν ἐκεῖθεν, θείων ἐπιλάμψεων.


Καὶ νῦν... Θεοτοκίον

Ἰδοὺ σε πᾶσαι γενεαί, μακαρίζουσι πίστει, τὴν τὸν ἄχραντον Λόγον, ἐν σώματι χρονικῶς, τεκοῦσαν ὑπερφυῶς, καὶ Παρθένον, πάλιν διαμείνασαν.

Ὠδὴ γ΄, τοῦ Μηναίου
Ὁ Εἱρμὸς. Πλ. β΄

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας

σου».


Ἦχος λ΄ Βου
Ουκ εστιν Αγιος ως συ Κυριε
ο Θεος μου ο υψωσας το κεραςτων πι
στων σου αγαθε και στερεωσας ημας
εν τη πετρα της ομολογιας σου ου
ου

Κάθισμα
Ἦχος γ΄
Θείας πίστεως

Θείαν ἔλλαμψιν ἐκ τοῦ Κυρίου, εἰσδεξάμενος, τρανῶς κηρύττεις, τὸν Βασιλέα τῆς δόξης ἐλεύσεσθαι, ἐκ τῆς Σιὼν ἀνατέλλοντα λύτρωσιν, καὶ καταυγάζοντα κόσμου τοῖς πέρασι, φῶς ἀείζωον, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.


Δόξα... **Κ**αὶ νῦν... Θεοτοκίον

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε Θεοκυῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα, τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεπτὴ τὸ μέγα ἔλεος.

Ὡδὴ στ΄, τοῦ Μηναίου
Πλ. β΄ .
Ὁ Εἱρμὸς

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Ἦχος λ΄ Βου


Γου βι ου την θα λασ σαν υ ψου με νην
κα θο ρων των πει ρα σμων τω κλυ δω νι
τω ευ δι ω λι με νι σου προσ δρα μων
βο ω σοι α να γα γε εκ φθο ρας την ζω ην
μου πο λυ ε λε ε ε ε

Κοντάκιον

Πέμπτῃ, τῶν Ἀποστόλων

Τοὺς ἀσφαλεῖς, καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου, Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Καὶ τοῦ Ἁγίου Νικολάου

Ἦχος γ΄ Ἡ Παρθένος σήμερον

Ἐν τοῖς Μύροις, ἅγιε, ἱερουργὸς ἀνεδείχθης· τοῦ Χριστοῦ γάρ, ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Προφήτου Σοφονίου.

Στίχοι

Ὁ πρὶν βοήσας τῇ Σιών, Χαῖρε σφόδρα,
Χαίρει, παραστὰς τῷ Θεῷ, Σοφονίας.
Φαίδιμος ἐν τριτάτῃ Σοφονίας ἦτορ ἀφῆκεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Στίχοι

Ἐν Πατριάρχαις καὶ Θεόδωρος μέγας,
Κἀν τοῖς ἀθληταῖς τοῖς διὰ ξίφους μέγας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδούλου, τοῦ ἀπὸ Ἐπάρχων.

Στίχοι

Ἐπαρχίαν γῆς οὐρανῶν ἐπαρχίας,
Ὁ Θεόδουλος ἀντέδωκεν ἐμφρόνως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, Ἐπισκόπου Κολωνίας, τοῦ Ἡσυχαστοῦ.

Στίχοι

Οὐχ ἡσυχάζω, καὶ θανόντα γὰρ στέφω,
Τὸν ἡσυχαστὴν Ἰωάννην τοῖς λόγοις.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Ἀγάπιος, Σέλευκος, καὶ Μάμας, ξίφει τελειοῦνται

Στίχοι

Τρεῖς ἄνδρες, Ἀγάπιος, Σέλευκος, Μάμας,
Πόθῳ Πλάσαντος ἠγάπησαν καὶ ξίφος.

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Θεόδουλος ὁ Κύπριος ἐν εἰρήνῃ τελειοῦται.

Μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Γαβριήλ, τοῦ Γάνου μὲν ὄντος πρότερον Ἐπισκόπου, ὕστερον δ΄ ἐν Προύσῃ μαρτυρήσαντος κατὰ τὸ 1659 ἔτος.

Ὁ ἅγιος Νεομάρτυς Ἀγγελῆς, ὁ ἐν Χίῳ ἀθλήσας ἐν ἔτει 1813, ξίφει τελειοῦται.


Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.


Ὠδὴ η΄, τοῦ μηναίου
Ἦχος πλ. β΄
Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ Δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρὰς Χριστέ,, μόνῳ τῷ βούλεσθαι· Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος λ Βου





Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς…

Τιμιωτέρα πλ. β΄ ἦχου.

Ἦχος λ π Δι

Σπίχος α΄

Με γα λυ νει η ψυ χη μου τον Κυ ρι ον και η γαλ λι α σε το πνεύ μα μου ε πι τω Θε ω τω σω τη ρι μου

Τ Β


Την Τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι α φθο ρως Θε ον Λο γον τε κου σαν την ο ον τως Θε ο το κον Σε με γα λυ νο με εν


Σπίχος β΄

Ο τι ε πε βλε ψεν ε πι την τα πει νω σιν της δου λης αυ του ι



δου γαρ α πο του νυν μα κα ρι ου σι με


πα σαι αι γε νε αι


Β
Τ την Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν


Σπίχος γ΄



Ο τι ε ποι η σε μοι με


γα λει α ο Δυ να τος και α γι ον


το ο νο μα αυ του και το ε λε ος


αυ του εις γε νε αν και γε νε αν τοις φο βου


με νοις αυ τον
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ο ον τως Θε ο το κον Σε με γα
λυ νο με εν
Σπίχος δ΄
Θ ποι η σε κρα τος εν βρα
χι ο νι αυ του δι ε σκορ πι σεν υ
πε ρη φα νους δι α νοι α καρ δι ας αυ
των
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν

Σπίχος ε΄


Κα θει λε δυ να στας α πο


θρο νων και υ ψω σε τα πει νους πει νων τας


ε νε πλη σεν α γα θων και πλου τουν



τας ε ξα πε στει λε κε νους

Β



Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα


φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα
λυ νο με εν

Στίχος στ΄



Ἄν τε λα βε το Ισ ρα ηλ
παι δος αυ του μνη σθη ναι ε λε ους κα
θως ε λα λη σε προς τους πα τε ρας η
μων τω Α βρα αμ και τω σπερ μα τι αυ
του ε ως αι ω ω νος


Τ΄ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ο ον τως Θε ο το κον Σε με γα




Εἶτα ψάλλεται
ἡ Θ΄ ᾠδὴ τοῦ κανόνος τοῦ Μηναίου
Ἦχος πλ. β΄. Ὁ Εἱρμὸς

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε, ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.



Ἦχος λ Βου


Ἄ ξι ον ε στιν ως α λη θως μα κα ρι ζειν
σε την Θε ε ο το κον την α ει μα κα
ρι στον και πα να μω μη τον και μη τε ρα
του Θε ου η μων την τι μι ω τε ε ραν
τω Χε ρου βιμ και εν δο ξο τε ραν α συγ
κρι τως των Σε ρα φιμ την α δι α φθο ο
ρως Θε ον Λο γο ον τε κου σαν την ο ον τως
Θε ο το ο ο κον σε με γα λυ υ νο
με ε εν

Ἐξαποστειλάρια

Τῇ Πέμπτῃ:

Ἦχος β΄. Γυναῖκες, ἀκουτίσθητε

Εἰς πᾶσαν τὴν ὑφήλιον, δραμόντες ἐκηρύξατε, τὴν τοῦ Χριστοῦ ἐκ Παρθένου, ἁγίαν σάρκωσιν ὄντως, ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες, καὶ πάντας ἐκδιδάσκοντες, Τριάδα σέβειν ἁγίαν, Ἀπόστολοι τοῦ Σωτῆρος.

Ἐξαποστειλάριον τοῦ μηναίου

Ἦχος β΄ .

Τοῖς μαθηταῖς συνέλθωμεν

Σὺν ἀσωμάτοις τάξεσι, παρεστὼς ἐν ὑψίστοις, τῇ ἀπροσίτῳ Πάνσοφε, ἐν Τριάδι ἀμέσως, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν, ἐλλαμπόμενος νέμοις, φῶς νοητὸν πρεσβείαις σου, τοῖς ἐκ πόθου τελοῦσι, σοῦ τὴν σεπτήν, καὶ φαιδρὰν πανήγυριν, καὶ σὲ μάκαρ, τοῖς ὕμνοις καταστέφουσι, Σοφονία Προφῆτα.

Θεοτοκίον

Ἦχος β΄.

Τοῖς μαθηταῖς συνέλθωμεν

Ὁ ἄνω δοξαζόμενος, ὡς Θεὸς ὑπ΄ Ἀγγέλων, κόλπων πατρῴων Ἄχραντε, μὴ ἐκστὰς ἀπορρήτως, τοῖς κάτω συνανεστράφη, σὺ δὲ

ταύτης ὑπήρξας, τῆς σωτηρίας πρόξενος, ἐξ ἁγνῶν σου αἱμάτων, τούτῳ Ἁγνή, ὑπὲρ λόγον σάρκα δανεισαμένη, ὃν αἴτησαι τοῖς δούλοις σου, λύσιν δοῦναι πταισμάτων.

Α Ι Ν Ο Ι
ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.


Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

Ἀποστολικά

ΑΠΟΣΤΙΧΑ ΤΩΝ ΑΙΝΩΝ

Ἀποστολικά. Ἦχος α΄.

Ἡ τῶν Ἀποστόλων παναρμόνιος λύρα, ἐξ ἁγίου Πνεύματος κινουμένη, τὰς τῶν στυγερῶν δαιμόνων τελετὰς κατήργησε, καὶ τὸν ἕνα Κύριον κηρύξασα, ἔθνη ἐλυτρώσατο τῆς πλάνης τῶν εἰδώλων, καὶ προσκυνεῖν ἐδίδαξε Τριάδα ὁμοούσιον.



Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ΄ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Τῶν οὐρανίων ταγμάτων


Πέτρον καὶ Παῦλον συμφώνως ἀνευφημήσωμεν, Λουκᾶν, Ματθαῖον, Μᾶρκον, Ἰωάννην, Ἀνδρέαν, Θωμᾶν, Βαρθολομαῖον, Σίμωνα τὸν Κανανίτην, Ἰάκωβον, Φίλιππον, καὶ τὴν ὁμήγυριν πᾶσαν τῶν Μαθητῶν, ἐπαξίως εὐφημήσωμεν.


Μαρτυρικὸν. Ἦχος α΄

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἀγαλλιᾶσθε Μάρτυρες ἐν Κυρίῳ, ὅτι τὸν ἀγῶνα τόν καλὸν ἠγωνίσασθε, ἀντέστητε βασιλεῦσι, καὶ τυράννους ἐνικήσατε, πῦρ καὶ ξίφος οὐκ ἐπτοήθητε, θηρῶν ἀγρίων κατεσθιόντων τὰ σώματα ὑμῶν, Χριστῷ μετὰ

Ἀγγέλων τὴν ὑμνῳδίαν ἀναπέμποντες, τοὺς ἀπ΄ οὐρανῶν στεφάνους ἐκομισασθε, αἰτήσασθε δωρηθῆναι εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.





Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τῶν οὐρανίων ταγμάτων

Προφητικῶς τὴν Παρθένον ἀνευφημήσωμεν, στάμνον χρυσῆν τοῦ μάννα, ἀκατάφλεκτον βάτον, καὶ τράπεζαν, καὶ θρόνον, λυχνίαν χρυσῆν, τὸ λαμπάδιον ἔχουσαν, καὶ ἀλατόμητον ὄρος, καὶ κιβωτόν, ἁγιάσματος καὶ πύλην Θεοῦ.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...


Ἀπολυτίκιον

Ἀπολυτίκια Πέμπτης

Ἦχος γ΄

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος ϊ̈ Γα




Δόξα...

Ἀπολυτίκιον τοῦ Ἁγίου Νικολάου. Ἦχος δ΄

Κανόνα πίστεως καί εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διά τοὐτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ σωθήναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄ Δι


Κα νο να πι στε ως και ει κο να πρα ο
τη τος εγ κρα τει ας Δι δα σκα λον α νε
δει ξε σε τη ποι μνη σου η των πραγ μα
των α λη θει α δι α του το εκ τη σω
τη τα πει νω σει τα υ ψη λα τη πτω χει
α τα πλου σι α Πα τερ Ι ε ραρ χα Νι κο
λα ε πρε σβευ ε Χρι στω τω Θε ω σω
ϑη ναι τας ψυ χας η μω ων

Δόξα... Καὶ νῦν... Θεοτοκίον


Τῇ Πέμπτῃ πρωΐ.

Εἰς τὸ τέλος τοῦ Ὄρθρου,

Ἦχος δ΄.

Ὅτι πάντων ὑπάρχεις, τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἀξίως, μὴ εὐποροῦντες Θεοτόκε, δωρεὰν αἰτοῦμέν σε, Ἐλέησον ἡμᾶς.


Ἦχος




Εἰς τὴν Θείαν Λειτουργίαν

ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ


Ἦχος πλ. δ΄ Νη




ΕΤΕΡΑ




4. 
Κυ ρι ε ε ε λε η σο ο ον

5. 
Κυ ρι ε ε λε ε η σον

6. 
Κυ ρι ε ε λε ε ε η σον

7. 
Κυ ρι ε ε λε η σον

8. 
Κυ ρι ε ε λε η σον

9. 
Κυ ρι ε ε λε η σον


10. 
Κυ ρι ε ε λε ε η σον

11. 
Κυ ρι ε ε λε ε ε η σον

12. 
Ϲοι Κυ ρι ε

Ἀντίφωνο Α΄


Ἦχος Δι





τερ σω σον η μας

Σπχ. γ΄


Ο τι ευ φρα νας με Κυ ρι ε



εν τοις ποι η μα σι σου και εν τοις ερ



γοις των χει ρων σου α γαλ λι α σο μαι


Ταις πρε σβει αις της Θε ο το κου Σω



τερ σω σον η μας

Σπχ. δ΄


Ο τι ευ θυς Κυ ρι ος ο Θε


ος η μων και ουκ ε στιν α δι κι α



εν αυ τω


Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον η μας


Δόξα Πατρὶ...Καὶ νῦν...


Το τελευταίον.





Ἀντίφωνο Β΄


Ἦχος Δι






Σπχ. β΄
Καιγαρεστερεωσεταν
οιουμενηητιςουσαλευθησε
ται
Πρεσβειαιςτωναγιωνσουσωσονη
μαςΚυριε
Σπχ. γ΄
Θαυμαστοιοιμετεωρι
σμοιτηςθαλασσηςθαυμαστοςενυψη
λοιςοΚυριος
Πρεσβειαιςτωναγιωνσουσωσονη
μαςΚυριε
Σπχ. δ΄
Ταμαρτυριασουεπι


στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα ας


Ἀντίφωνο Γ΄
Ἦχος Δι

Σπχ. α΄ Δεῦτε ἀγαλλιάσωμεν τῷ Κυρίῳ ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν


Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς ψάλλοντας σοι ἀλληλούϊα

Σπχ. β΄ Προφθάσωμεν τὸ προσώπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ


Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ



Σπχ. γ΄ Ο τι Θε ος με γας Κυ ρι ος και βα σι λευς με γας ε πι πα σαν την γην




Εἰσοδικό



Ἀπολυτίκια Πέμπτης . Ἦχος γ΄

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.


Ἦχος πλ. Γ




Ἀπολυτίκιον τοῦ Ἁγίου Νικολάου. Ἦχος δ΄

Κανόνα πίστεως καί εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διά τοὐτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ σωθήναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄ Δι






Ἀπολυτίκιον τοῦ Ναοῦ.

Κοντάκιον

Πέμπτῃ, τῶν Ἀποστόλων

Τοὺς ἀσφαλεῖς, καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου, Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
ΠΕΜΠΤΗ ΚΖ΄, ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος πλ. δ΄

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. **Οἱ** οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 6:17-21

Τέκνον Τιμόθεε, τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ᾽ ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ· ἀμήν.

Ἀλληλούϊα (γ΄) Ἦχος α΄


Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Στίχ. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων.

Κοινωνικόν

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.


Ἦχος λ̈ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Δ μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σω
Ἕτερον.
Κυ ρι ε ε ε ε ε
α α μην


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΘΙC ΑΓΙΟC

Ἦχος πλ. δ΄ Πα Ἐναρμόνιος



Ἦχος γ΄τος



Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος λ π Πα
Ἄ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.


Ἦχος πλ. δ΄ Πα




η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην


Τῇ Πέμπτῃ (τῶν Ἁγ. Ἀποστόλων)


Ἦχος πλ. Δ΄ Νη



Ἰωάννου Μαυρομάτη Πρωτοψάλτου


Ἦχος πλ. Νη




οι κου με ε ε ε ε ε ε ε ε νη ης
τα ρη η η η η η η η μα α α α α α
α α α α α α α α α α α α α α α
α α α α α τα ρη η μα τα α α α α α
α α α α α α α α α αυ τω ω ω μω ω ω
ω ων Αλ λη λου ου ι ι ι α α
α α α α α α α


Εἴδομεν τὸ φῶς τό ἀληθινόν


Ἦχος Δι



Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…


Ἦχος Δι





αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α


Εἴη τό ὄνομα...


Ἦχος Δι



Τόν Εὐλογούντα...






Ἦχος Βαρύς Ζω
Πα να γι ι α Δε
ε σποι να υ πο τη ν σκε ε πη ν σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


Π
Z
Π
πα α κου σον τ̣ των πα ρα α κα λου ουν των σε
Z
M
ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με


Ἦχος Βαρύς Ζω




μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα
σι ι α των πι στων μη μου πα ρι ι δης
την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.